www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὴν Ὁσίαν Εἰρήνην ἡγουμένην τῆς Μονῆς τοῦ Χρυσοβαλάντου

Ἦχος πλ.β'

Ἅγιον Ὅρος

2018

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὴν Ὁσίαν Εἰρήνην ἡγουμένην τῆς Μονῆς τοῦ Χρυσοβαλάντου, οὗ ἡ ἀκροστιχίς, «Εἰρήνην τὴν Πανοσίαν γεραίρω», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος πλ.β'.

*ᾨδὴ Α' Ὡς ἐν ἠπείρῳ.*

Εἰρηνικῶς περαιῶσαι τὴν βιοτήν, διαγνοῦσα ἔσπευσας, τῷ καλοῦντί σε Χριστῷ, τὸν σταυρὸν ἐπ' ὤμων σου σοφῶς, ἀραμένη τούτῳ Μῆτερ ἠκολούθησας.

Ἰωαννίκιος Μῆτερ ὁ θαυμαστός, προορῶν σοι ἔφησε, ἐσομένην λογικῶν, τοῦ Χριστοῦ προβάτων ὁδηγόν, καὶ προστάτιν πρὸς αὐτοῦ θεῖα θελήματα.

Ῥεόντων πλοῦτον τὸν ἄστατον καὶ φθαρτὸν πάνσεμνε κατέλιπες, καὶ ηὐλίσθης ἐν αὐλαῖς, τοῦ Κυρίου καὶ ἀσκητικῶς, ἐφετῶν προσεπεκτήσω τὸ ἀκρότατον.

*Θεοτοκίον.*

Ἱερωτέρα ἐδείχθης τῶν ἐκλεκτῶν, Ἀρχαγγέλων Δέσποινα, ὡς τεκοῦσα τὸν Θεόν, ὑπὲρ λόγον φύσεσι διτταῖς, καὶ μιᾷ τῇ ὑποστάσει γνωριζόμενον.

*ᾨδὴ Γ' Οὐκ ἔστιν ἅγιος.*

Ἡδέων ἅπασαν χλιδήν, παριδοῦσα Εἰρήνη καὶ βασίλειον ὄγκον, ἐπικήρων ἀγαθῶν, παρωσαμένη σεμνή, προσηρμόσθης τῷ Σωτῆρι χαίρουσα.

Νοῦν ἡγεμόνα εὐσταθῶς, κτησαμένη ὁσία, κατὰ τῶν ὀλεθρίων, παναοίδιμε παθῶν, ἀσκητικῶς δυσμενῶν, τῶν ἐχθίστων, ἤμβλυνας τὴν δύναμιν.

Ἡγέτις γέγονας σεμνή, τῶν παρθένων τῆς μάνδρας, πανοσία Εἰρήνη διϊθύνουσα ψυχάς, τούτων Χριστοῦ τοῦ Θεοῦ, τοῦ Νυμφίου, πρὸς τὴν θείαν ἔφεσιν.

*Θεοτοκίον.*

Λύτρωσαι Δέσποινα τὸν σόν, πολιτείας ἱκέτην, ἐναγοῦς καὶ τῆς ὥρας, πρὶν τοῦ τέλους Ἀγαθή, τῆς μετανοίας ὁδῷ, τὸν ἀχρεῖον τάχει με ὁδήγησον.

*Ὠιδὴ Δ΄ Χριστός μου δύναμις.*

Νοσούντων εἴληφας τὴν χάριν ἄνωθεν, θεραπεύειν Εἰρήνη Μῆτερ ψυχάς, ἅμα καὶ τὰ σώματα, ὡς τοῦ Δεσπότου ἐκλεκτή, καὶ γνησία δούλη πάνσεμνε.

Τρυφὴν τὴν ῥέουσαν τοῦ κόσμου ἔλιπες, καὶ ἀγῶσιν ὁσία ἀσκητικοῖς ἐπεδόθης χαίρουσα, καὶ τῶν παθῶν τὰς προσβολάς, Μῆτερ τέλεον ἐνέκρωσας.

Ἡδέων ἅπασαν, ἰδέαν ἔλιπες, καὶ νηστείαις συντόνοις καὶ προσευχαῖς, καὶ παννύχοις στάσεσι, τὸν ὑπεράγαθὸν Θεόν, θεοφόρε ἐθεράπευσας.

*Θεοτοκίον.*

Ἀπεγνωσμένον με, ὄντα Πανάμωμε, ἐμπεσόντα ἰλύει τῶν ἡδονῶν, σύ με ὡς ὑπάρχουσα, ἀπορουμένων ἡ ἐλπίς, μεταγνώσεως ἀξίωσον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδὴ Ε' Τῷ θείῳ φέγγει σου.

Νυκτὸς ὁράματι ἐναργῶς, ἔσωσας θανάτου ἐκ πικροῦ, ἄνδρα ἀθῶον τὸν ἄνακτα, τῇ ἐπιφανείᾳ σου δεινῶς, Εἰρήνη σεμνή, δικαίως πανολβία ἐκδειματώσασα.

Παθῶν κατέσβεσας τὸν φλογμόν, τῇ συντόνῳ στάσει καὶ εὐχῇ, καὶ βροτοκτόνου τὰ ἔνεδρα, καὶ κακώσεις τούτου τὰς φρικτάς, τῇ ὑπομονῇ εἰς τέλος μακαρία ἐξουδετέρωσας.

Ἀγγέλων βίον ἐπὶ τῆς γῆς, πανοσία ἔδειξας σαὐτήν, ἀσκήσει ὅλως νεκρώσασα, διὸ πρὸς Χριστοῦ τοῦ Θεοῦ, τὴν χάριν τελεῖν, θαυμάσια θεόφρον Εἰρήνη εἴληφας.

Θεοτοκίον.

Ῥευστῶν με Κόρη καταφρονεῖν, καὶ φθαρτῶν ἀξίωσον χλιδήν, καὶ ἀθανάτων τὴν ἔννοιαν, καὶ μενόντων δίδου νοεῖν, μελλούσης φλογός, ὁ τάλας ὅπως πεῖραν, φυγεῖν δυνήσωμαι.

Ὠιδὴ ΣΤ' Τοῦ βίου τὴν θάλασσαν.

Νυμφίῳ προσήρμοσας, σεαυτὴν ὡς ἐκλεκτή, περικαλὴς καὶ ἄμωμος, καὶ ὡραῖα Εἰρήνη νύμφη Χριστῷ, διὸ τῆς τοῦ σώματος, θεραπείας, τελέως ὑπεξέφυγες.

Ὁ μέγας καὶ ἔξαρχος, τῶν παρθένων καὶ κλεινός, καὶ φίλος ἐπιστήθιος, καὶ αὐτόπτης τοῦ Λόγου καὶ μαθητής, καρπῶν σὲ ἠξίωσε, Παραδείσου Εἰρήνη παμμακάριστε.

Σοφῶς ἣν ἐπίστευσε, σοὶ ἐποίμανας Χριστός, παρθένων ποίμνην νάμασι, καταρδεύσασα ταύτην τοῖς σωστικοῖς, ὁσία καὶ ἄληκτον, βιοτὴν πρὸς τὴν ἄνω καθωδήγησας.

*Θεοτοκίον.*

Ἰσχύει με σθένωσον, Παναμώμητε τῇ σῇ τῶν λογισμῶν τὰ κύματα, διαφεύγειν ὁ τάλας τῶν ἀπρεπῶν, καὶ ὥρας τὴν ἔννοιαν, τῆς φρικτῆς τοῦ θανάτου μνημονεύειν με.

*Ὠιδὴ Ζ΄ Δροσοβόλον μέν.*

Ἰαμάτων πανοσία ἀναδέδειξαι, νάουσα πολυχεύμων πηγή, τοῖς ἐν πίστει προσερχομένοις σοὶ Μῆτερ θερμῇ, σωμάτων τὰς νόσους καὶ ψυχῶν ὡς τοῦ Χριστοῦ γνησία δούλη θεραπεύουσα.

Ἀναμέλπουσα ὁσία ἀνεκραύγαζες, χαίρουσα τὴν τῶν παίδων φωνήν, καὶ παρθένοις ταῖς σαῖς ὡσαύτως, πίστει ἐκβοᾶν, Εἰρήνη προέτρεπες ἀεί, εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Νοῦν τὸν σὸν ἀνεπιθόλωτον ἐτήρησας, σύγχυσιν διαδρᾶσα σοφή, τῶν ματαίων καὶ πρὸς τὸ ὕψος, θείων ἐννοιῶν, ἐπήρθης καὶ τῶν μοναζουσῶν, κανὼν ἐδείχθης ἀκριβής, ἀσκητικῆς ἀγωγῆς.

*Θεοτοκίον.*

Ὡς Μητέρα σε τοῦ Λόγου ἐπιστάμενος, Δέσποινα σοὶ προσφεύγων βοῶ, ὁ ἀγνώμων τῆς μετανοίας, χάριν δωρεάν, παράσχου μοι πρὸ τῆς τελευτῆς, ὅπως σωθεὶς ὑμνολογῶ τὴν δυναστείαν σου.

*Ὠιδὴ Η΄ Ἐκ φλογὸς τοῖς ὁσίοις.*

Γηθομένη Εἰρήνη τὸν ἐλαφρότατον, τὸν ζυγὸν τοῦ Σωτῆρος σοὶ ἐπαυχένιον, φέρουσα αὐτῷ, ἐν χαρᾷ ἀνεκραύγαζες, σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἐπῳδὰς μακαρία Μῆτερ διέλυσας, τὰς τῶν μάγων εὐχαῖς σου καὶ ἀπελύτρωσας, τῆς τοῦ πονηροῦ ἐνοχλήσεως δαίμονος, κόρην καὶ σωφρόνως κατέστησας διάγειν.

Ῥωμαλέῳ φρονήματι προσεχώρησας, πρὸς ἀγῶνας Εἰρήνη ἀξιοθαύμαστε, τοὺς ἀσκητικοὺς καὶ τῶν τῷδε ἀπάρασα, πρὸς τὰς οὐρανίους κατέφθασας σκηνώσεις.

*Θεοτοκίον.*

Νυσταγμῷ ἀμελείας περικρατούμενος, ταύτης Κόρη εὐσπλάγχνως με ἐλευθέρωσον, ὅπως ἀγαθῆς, ὁ ταλαίπωρος ἅψωμαι, τρίβου καὶ μελλούσης κολάσεως ἐκφύγω.

*Ὠιδὴ Θ΄ Θεὸν ἀνθρώποις.*

Ἁπάντων δῆμος πανηγυρίσωμεν, τῶν ἀσκητῶν τὴν μνήμην, τὴν φαιδρὰν καὶ σεβάσμιον, τῆς ὁσίας σήμερον καὶ νύμφης Χριστοῦ, τῆς ὡραϊζομένης, τοῖς ἀγωνίσμασι, τοῖς ἀσκητικοῖς, καὶ τῶν θαυμάτων ταῖς λαμπρότησι.

Ἰσχὺν Εἰρήνη τοῖς εὐφημοῦσί σε, κατὰ παθῶν παράσχου, σὺν Ἀγγέλων στρατεύμασι, καὶ ὁσίων τάγμασι τῷ θρόνῳ Χριστοῦ, Μῆτερ παρισταμένη, τοῦτον εὐΐλατον, ἀπεργαζομένη ταῖς εὐχαῖς σου παναοίδιμε.

Ῥαδίως Μῆτερ τῷ ἐκπονήσαντι, τὴν σὴν ᾠδὴν ὁσία περαιῶσαι τὸν δίαυλον, ταῖς εὐχαῖς σου δός, τῆς εἰρήνης φερώνυμε, σάλον τῶν ἐναντίων, καὶ διενόχλησιν, τῶν ψυχωλεθρίων λογισμὸν καταπραΰνουσα.

Ὡς ἄστρον Μῆτερ φωτὶ τῶν ἔργων σου, τῇ οἰκουμένῃ πάσῃ μακαρία ἐπέλαμψας, καὶ νῦν τῷ Δεσπότῃ τῶν ἁπάντων Χριστῷ, πρέσβευε ἀεννάως, δοῦναι συγχώρησιν, τῶν παραπτωμάτων, τοῖς σὲ πόθῳ ἀναμέλπουσι.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον.*

Μεγάλη ὄντως καὶ ἀνερμήνευτος, τῶν δωρεῶν σου Κόρη ἡ πληθὺς ἣν ἐξέχεας, τῷ Ἁγίῳ Ὄρει τούτῳ Ἄθῳ τῷ σῷ, κλήρῳ Παρθενομῆτορ, ὅθεν οἱ δοῦλοί σου, ἀνυμνολογοῦμέν σε ἀεὶ καὶ μεγαλύνομεν.

*Προσόμοια.*

*Ὅλην ἀποθέμενοι. Ἦχος πλ.β΄.*

Κόσμου τὴν τερπνότητα, καὶ τῶν ῥεόντων τὰ κάλλη, ἐβδελύξω πάνσοφε, καὶ τὴν διαλάμπουσαν δόξαν ἔλιπες, εὐσταθῶς ἅπασαν, τὴν ὀνείρου δίκην, λυομένην καὶ προσέδραμες, ζέοντι ἔρωτι, νύμφη ὡς ὡραῖα καὶ ἄμωμος, τῷ σῷ Νυμφίῳ χαίρουσα, Μῆτερ τρισολβία καὶ Κτίστῃ σου, Χριστῷ τῷ Σωτῆρι, Εἰρήνη καὶ ζυγὸν τὸν ἐλαφρόν, ἀγαλλομένη βαστάσασα, τούτῳ ἠκολούθησας.

Σῶμα τὸ φθειρόμενον, ὑποπιάζουσα ὤφθης, πόνοις τῆς ἀσκήσεως, τοῖς ἀδιαπτώτοις σου καρτερόψυχε, προσευχῇ πάντοτε, καὶ τῇ ἐγκρατείᾳ, καὶ παννύχοις Μῆτερ στάσεσι, προσεπιμένουσα, πῦρ τῶν ψυχοφθόρων κατέσβεσας, παθῶν καὶ κατηξίωσαι, θείων χαρισμάτων ἀοίδιμε, καὶ Χρυσοβαλάντου, Μονῆς τῆς εὐαγοῦς μοναζουσῶν, παρθένων ὤφθης ἀρχέτυπον, τούτων καὶ ἐξάρχουσα.

Δύναμιν ἀπείληφας, παρὰ Χριστοῦ μακαρία, ἀπελαύνειν δαίμονας, καὶ ψυχῶν νοσήματα καὶ τοῦ σώματος, αὐθωρεὶ λόγῳ σου, Μῆτερ θεραπεύειν, καὶ παντοίων περιστάσεων, τοὺς κινδυνεύοντας, κλήσει τῇ σῇ τάχιον σώζεσθαι, καὶ πίστιν τὴν ἀμώμητον, ἅπασιν ἀντέχειν προτρέπουσα, ὅθεν νῦν ταῖς ἄνω, σκηναῖς αὐλιζομένη τῷ Χριστῷ, μὴ διαλείπῃς πρεσβεύουσα, ὑπὲρ τῶν ὑμνούντων σε.

Ἥμαρτον ὡς ἥμαρτεν, βροτῶν οὐδεὶς Παναγία, τοῦ λουτροῦ τῆς χάριτος, ἐκπεσὼν ὁ ἄθλιος καὶ τοῦ Σχήματος, τοῦ σεπτοῦ ἅπαντα, οἴμοι τοῦ Ἁγίου, παραγγέλματα σωτήρια, καταπεφρόνηκα, πάντη ἀναιδῶς βιωσάμενος, καὶ χωρισμὸν ἐκ σώματος, τρέμω τῆς ψυχῆς προσεγγίζοντα,

www.tezaurliturgic.ro


σὺ τοῦ φιλανθρώπου, Δεσπότου οἷα Μήτηρ λογισμόν, σωτηριώδη μοι ἔμπνευσον, ὅπως μὴ ἀπόλλωμαι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ